& hoc eſt ſphæra ænea: hoc autem ſphæræ eſſe. Eius vero, quod eſt ſphæræ eſſe, omnino ſi generatio eſt, ex aliquo aliquid erit. Oportebit nanque diuiſibile ſemper eſſe, quod fit: & eſſe, hoc quidem hoc, illud vero, hoc. Dico autem, quod hoc quidem materiam: illud vero, ſpeciem. Si itaque ſphæra eſt figura, quæ à medio æqualis eſt, huius hoc quidem eſt, in quo erit, quod facit: illud autem, in illo, totum vero, quod factum eſt, vtputa ipſa ænea ſphæra. Manifeſtum igitur ex dictis eſt, quod illud quidem, quod vt ſpecies, aut ſubſtantia dicitur, non fit: copulatio vero, quę ſecundum hanc dicitur, fit: & quod in omni, quod fit, materia ineſt: & eſt hoc quidem hoc, illud vero hoc. Vtrum igitur eſt aliqua ſphæra præter has, an domus præter lateres? an nec factum fuiſſet vnquam, ſi ita eſſet quod quid, ſed quoniam tale ſignificat? Hoc autem & terminatum non eſt: ſed facit, & generat ex hoc, tale: & cùm generatum eſt, eſt hoc tale? totum autem hoc, Callias, aut Socrates eſt, ſicuti ſphæra ænea hæc, homo vero, & animal ſicuti ſphæra ænea ſimpliciter. Patet ergo, quod ſpecierum cauſæ (quemadmodum quidam dicere ſolent ſpecies) ſi aliquæ ſunt, præter ſingularia, ad generationes, & ſubſtantias nihil proſunt: nec ſunt propter has, ſubſtantiæ ſecundum ſe. In quibuſdam etenim etiam manifeſtum eſt, quod generans tale eſt, quale quod generatur: non tamen idem, nec vnum numero, ſed vnum ſpecie, vt in naturalibus: homo nanque hominem generat, niſi quid præter naturam fiat: vt equus mulum: & hæc quoque ſimiliter. Quod enim eſt commune equo, & aſino, non eſt nominatum propinquiſſimum genus: fuerint autem ambo fortaſſis, vti mulus. Quare patet, quod non oportet tanquam exemplar ſpeciem ponere: in his etenim maximè quærerentur. Hæ enim maximè ſubſtantiæ ſunt. Sed generans ſufficiens eſt, vt faciat, & cauſa ſit ſpeciei eſſe in materia: tota vero iam talis ſpecies, in his carnibus, & oſſibus, Callias, & Socrates: & diuerſa quidem, propter materiam, (diuerſa etenim) idem autem ſpeciei: indiuiſibilis nanque ſpecies eſt.

CAPVT IX.

DVbitauerit autem aliquis, cur quædam & arte, & caſu fiunt, vt ſanitas: quædam autem minimè, vt domus. Cauſa vero eſt, quod horum quidem materia, quæ principium generationis eſt, cùm faciens ſit, & factum aliquid eorum, quæ

A ποιεῖ· καὶ ἔστι τοῦτο σφαῖρα χαλκῆ· τοῦτο δὲ σφαίρᾳ εἶναι. τοῦ δὲ σφαίρᾳ εἶναι, ὅλως εἰ ἔστι γένεσις, ἔκ τινός τι ἔσται. δεήσει γὰρ διαιρετὸν εἶναι ἀεὶ τὸ γιγνόμενον, καὶ εἶναι τὸ μὲν τόδε, τὸ δὲ τόδε. λέγω δ᾽ ὅτι τὸ μὲν ὕλην, τὸ δὲ εἶδος. εἰ δή ἐστι σφαῖρα τὸ ἐκ τοῦ μέσου σχῆμα ἴσον, τούτου τὸ μὲν ἐν ᾧ ἔσται, ὃ ποιεῖ· τὸ δ᾽, ἐν ἐκείνῳ· τὸ δὲ ἅπαν, τὰ γεγονός· οἷον, ἡ χαλκῆ
B σφαῖρα. φανερὸν δὴ ἐκ τῶν εἰρημένων, ὅτι τὸ μὲν ὡς εἶδος, ἢ ὡς οὐσία λεγόμενον οὐ γίγνεται· ἡ δὲ σύνοδος ἡ κατὰ ταύτην λεγομένη γίνεται. καὶ ὅτι ἐν ἅπαντι τῷ γεννωμένῳ ὕλη ἔνεστι, τὸ μὲν τόδε, τὸ δὲ τόδε. πότερον οὖν ἔστι τις σφαῖρα παρὰ τάσδε, ἢ οἰκία παρὰ τὰς πλίνθους; ἢ οὐδ᾽ ἄν ποτε ἐγίγνετο, εἰ οὕτως ἦν τόδε τι, ἀλλ᾽ ὅτι τοιόνδε σημαίνει. τόδε δὲ καὶ ὡρισμένον οὐκ ἔστιν, ἀλλὰ ποιεῖ καὶ γεννᾷ
C ἐκ τοῦδε τοιόνδε· καὶ ὅταν γεννηθῇ, ἔστι τόδε τοιόνδε. τὸ δὲ ἅπαν τόδε Καλλίας ἢ Σωκράτης ἐστίν, ὥσπερ ἡ σφαῖρα ἡ χαλκῆ ἡδί. ὁ δ᾽ ἄνθρωπος καὶ τὸ ζῶον, ὥσπερ σφαῖρα χαλκῆ ὅλως. φανερὸν ἄρα, ὅτι ἡ τῶν εἰδῶν αἰτία (ὡς εἰώθασί τινες λέγειν τὰ εἴδη) εἰ ἔστιν ἄττα παρὰ τὰ καθ᾽ ἕκαστα, πρός τε τὰς γενέσεις καὶ οὐσίας οὐδὲν χρήσιμα, οὐδ᾽ ἂν εἶεν διά γε
D ταῦτα οὐσίαι καθ᾽ αὑτάς. ἐπὶ μὲν δή τινων καὶ φανερόν, ὅτι τὸ γεννῶν τοιοῦτον μέν, οἷον τὸ γεννώμενον, οὐ μέντοι τὸ αὐτό γε, οὐδ᾽ ἓν τῷ ἀριθμῷ, ἀλλ᾽ ἓν τῷ εἴδει, οἷον ἐν τοῖς φυσικοῖς. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ἐὰν μή τι παρὰ φύσιν γένηται· οἷον, ἵππος ἡμίονον· καὶ ταῦτα δὲ ὁμοίως· ὃ γὰρ ἂν κοινὸν εἴη ἐφ᾽ ἵππου καὶ ὄνου, οὐκ ὠνόμασται τὸ ἐγγυτάτω γένος.
E εἴη δ᾽ ἂν ἄμφω ἴσως, οἷον ἡμίονος. ὥστε φανερὸν ὅτι οὐδὲν δεῖ ὡς παράδειγμα, εἶδος κατασκευάζειν (μάλιστα γὰρ ἂν ἐν τούτοις ἐπεζητοῦντο. οὐσίαι γὰρ αἱ μάλιστα αὗται) ἀλλὰ ἱκανὸν τὸ γεννῶν ποιῆσαι, καὶ τοῦ εἴδους αἴτιον εἶναι ἐν τῇ ὕλῃ. δ᾽ ἅπαν ἤδη τὸ τοιόνδε εἶδος, ἐν ταῖς δε ταῖς σαρξὶ καὶ ὀστοῖς Καλλίας καὶ Σωκράτης· καὶ ἕτερον μὲν διὰ τὴν ὕλην (ἑτέρα γὰρ) ταὐτὸ δὲ τῷ εἴδει· ἄτομον γὰρ τὸ εἶδος.
F

Κεφάλαιον θ.

ἈΠορήσειε δ᾽ ἄν τις διὰ τί τὰ μὲν γίνεται καὶ τέχνη καὶ ἀπὸ ταυτομάτου, οἷον ὑγίεια· τὰ δ᾽ οὔ, οἷον οἰκία. αἴτιον δέ, ὅτι τῶν μὲν ἡ ὕλη ἡ ἄρχουσα τῆς γενέσεως, ἐν τῷ ποιεῖν καὶ γίνε-